eul_wid: ngq-ad

*Ἄρατου Σχόλια* · Aratus Scholia

# Scholia-Aratus

*Σχόλια εἰς Ἄρατον*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 140 — 〈μεγάλης ... Ἄρκτου〉 : τοῦ ἄστρου ἄνωθεν ἐμνημόνευεν. P.

book 178 — 〈ὁμηλυσίῃ περ ἀνελθών〉 : καίπερ ὁμοῦ ἀνατείλας τῷ Ἡνιόχῳ, ἐπειδὴ τὸν ἔξω πόλον διέρχεται. PG. cf. sch. 178.

book 184 — 〈ἴση οἱ στάθμη〉 : τόσον ἀπολείπεται τῶν ὀπισθίων ποδῶν τῆς Ἄρκτου ὅσον ὑπάρχει τὸ διὰ μέσου τῶν ἑαυτοῦ δύο ποδῶν. PG. cf. sch. 185.

book 224 — 〈ἔνδιοσ〉 : κατὰ τί λέγει; τοῦ οὐρανοῦ, ἤτοι τὸν μεσημβρινόν, ἢ ἔνδιος ἤτοι κατὰ τὸν ἀέρα. P. [para]ἤτοι μεσημβρινὸν ὅτι (?) μετὰ τοῦ οὐρανοῦ. ἢ κατὰ τὸν ἀέρα. G. Haec in ambobus codicibus lectu difficillima. Cf. sch. 223.

book 225 —θοώταται: παρ’ ὅσον μείζονα πόλον διέρχεται ὁ Κριὸς τῆς Ἄρκτου, εἰ καὶ τὸ αὐτὸ διάστημα ἐξ ἴσου διέρχονται ἀμφότεροι. τοῦτο δὲ τούτοις συμβαίνει ὅπερ τῇ στρόφιγγι καὶ τῇ ὅλῃ θύρᾳ. PG. cf. sch. 226, p. 186, 10—18.

book 265-266 — 〈ἦρι καὶ ἑσπέριαι〉 : ἤτοι κατὰ τὸν καιρὸν τοῦ θέρους ἀνατέλλει (sic) καὶ κατὰ τὴν ἀρχὴν τοῦ χειμῶνος δύεται. P. cf. sch. 265.

book 271 —πέτηλον: τοῦτο λέγει διὰ τὸ πεπτωκέναι αὐτό. PG. cf. sch. pp. 213—214.

book 275 — 〈αἰόλοσ〉 : ἤγουν ἀέριος (P). ἢ τῆς Λύρας πλησίον (PG) τρέχει διὰ τὸν ἀέρα (P).

book 276 — 〈τὰ δέ οἱ ἔπι τετρήχυνται〉 : τὰ (G) πτερὰ αὐτοῦ τραχέα ὑπάρχουσιν (PG). ἤτοι πεφώτισται (P). Cf. sch. p. 216, 5.

book 336 — 〈ἀκούομεν〉 : αἰσθανόμεθα ψύχους. κείνου γὰρ ἀνατέλλοντος καὶ τῷ ἡλίῳ συμπεριπατοῦντος καύματα εἰσίν. PG. cf. sch. 332.

book 356 — 〈ἀγινεῖ〉 : φέρει. πρὸς ἐκείνην ὁ νότος (?) νεύει. P.

book 360 — 〈πολυκλαύστου〉 : ὡς ἀπὸ τοῦ Φαέθοντος ὅτι ἐκεῖ ἔκλαυσαν αἱ Ἡλιάδες αἱ καὶ αἰγειροὶ διὰ τὸν Φαέθοντα. P; brevius G; cf. sch. 355 p. 254, 5—8.

book 382 — 〈οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ〉 : ἤγουν (?) ξένος ὂν (?) μὴ ἴδῃ τις ποτὲ ἀνατέλλοντα ἄστρα (?). τί οὖν (?) θαυμάζομεν; ἀλλὰ πάντες γνώριμοί εἰσιν. P (vix legibile).

book 408 — 〈ἀρχαίη Νύξ〉 : ἀρχαία γάρ ἐστιν ἡ Νύξ, τοῦ Ἐρέβους γεννηθεῖσα. PG. cf. sch. 408.

book 410 — 〈σῆμα〉 : τὸ Θυτήριον, νότιον ὄν, πρώτως πνέεται (sic) τῷ νότῳ. ὅταν νῦν καθαρὸν θεαθῇ νέφους, καὶ βορέου ἐνισταμένου, γίνωσκε ὅτι νότος μέλλει πνεῦσαι, καὶ φυλάσσου τὸν

κλύδωνα· καθαρὸν γὰρ τὸ Θυτήριον ὑπὸ τοῦ νότου ἐγένετο ἄρτι πνεῖν διεγερθέντος. καὶ εἰ μὴ πάρεστιν, ἀλλ᾽ ὅσον οὔπω ἐλεύσεται. PG.

book 432 — 〈ὀλίγη δέ μιν〉 : καθαρὸν οὖν τὸ Θυτήριον καὶ τοῦ εὔρου πνέοντος καὶ τοῦ νότου. ὅταν γοῦν καθαρὸν φαίνηται, τῶν ἐπάνω τούτου ἄστρων ὄντων ἐζοφωμένων ὑπὸ νέφων, γίνωσκε μέλλειν πνεῦσαι τὸν νότον· καὶ ἔστι τοῦτο σημεῖον κλύδωνος. ὅταν δὲ καὶ αὖθις καθαρὸν μὲν φαίνηται τὸ Θυτήριον, ἐζόφωται δὲ ὁ ἄκρος ὦμος τοῦ Κενταύρου, τότε γίνωσκε τὸν εὖρον μέλλειν πνεῦσαι καὶ οὐ τὸν νότον, καὶ ἔχε τοῦτο σημεῖον. γίνωσκε δὲ ὅτι ὁ μὲν νότος κατ᾽ εὐθὺ τοῦ βορέου πνέει, ὁ δὲ εὖρος ἐκ πλαγίου. PG.

book 456 — 〈ἐπιτεκμήραιο〉 : στοχάσῃ. ὡς ἐν τοῖς ἄλλοις τῶν ἄστρων ἔστιν ἰδεῖν πάντας παρ᾽ ἀλλήλους κειμένους καὶ δι᾽ ἀλλήλων φανερουμένους. P.

book 458 — 〈ἐνιαυτοί〉 : ἐνιαυτὸς ὁ κύκλος ἀπὸ τοῦ ἐν αὐτῷ τὸν πλάνητα γινόμενον κύκλον ἀποτελεῖν (PG). τοῦτο γὰρ ἐνιαυτός. σημαίνει ὁ ἐνιαυτὸς τὸν χρόνον. P.

book 468 — 〈ἀντιφέρονται〉 : ἰσάζουσι κατὰ τὸ μέτρον ὁ ζῳδιακὸς καὶ ὁ ἰσημερινὸς κύκλος, καὶ ὁ θερινὸς τροπικὸς καὶ ὁ χειμερινός. PG

book 497 —ὅταν [.] ἐν τῷ Καρκίνῳ, τὰ πέντε ἄνω, τὰ δὲ τρία κάτω. P

book 509-510 —ὅταν δὲ πάλιν [.] ἐν τῷ Τοξότῃ, τὰ τρία μέν εἰσιν ἄνω, τὰ δὲ πέντε κάτω. P

book 527 — 〈ἑκάτερθεν ἔχουσιν〉 : οἱ κύκλοι κρατοῦσιν αὐτὸν τὸν ζῳδιακὸν ἐκ τοῦ ἀμφοτέρου (sic) μέρους, ὁ μέσος δὲ ε′, ἤγουν ὁ ἰσημερινός, κατὰ τὸ μέσον τέμνει τὸν ζῳδιακόν. P.

book 535-540 — 〈μία δέ σφεων〉 : οὐ γὰρ λοξῶς κινοῦνται οἱ πόλοι ἵνα φαινομένου τοῦ ἑνὸς ὁ ἄλλος κρύπτηται, καὶ τοῦ ἑνὸς ἀνατέλλοντος ὁ ἄλλος ὑπὸ γῆν ἔτι ἔσται, ἀλλὰ κατ᾽ εὐθύ. καὶ διὰ τοῦτο μία τούτοις καὶ δύσις καὶ ἀνατολὴ φαίνεται. PG.

book 607 — 〈καὶ λεπτὰ φάουσαι〉 : οὐ φαίνονται ὅτε ἀνατέλλουσιν· ὅμως διὰ τοῦ Ἀρκτούρου συνανατέλλοντος στοχάζονται καὶ αἱ Χηλαί. PG.

book 618-619 — 〈τοῦ μὲν ἄρ᾽ οἴη / κνήμη〉 : ἡ μία κνήμη ἀνατέλλει σὺν ταῖς Χηλαῖς, τὸ δὲ μέσον τῷ Σκορπίῳ, τὸ δὲ λοιπὸν τοῦ σώματος τῷ Τοξότῃ. PG. cf. sch. 620.

book 640 — 〈χάριν Οἰνοπίωνι〉 : ὁ Οἰνοπίων κατὰ τῆς Χίου ἦν (βασιλεὺς ἦν τῆς Χίου G). ἔδωκεν ἐξουσίαν θηρεύειν ἐν τῇ αὐτοῦ (sic) χώρᾳ, λέγω τῇ Χίῳ. ὃς Ὠρίων ἀνταμειβόμενος τοῦτον τῆς ἀγάπης ἐφόνευε καὶ τὰ θηρία ὅσα ἦν ἐν αὐτῇ. PG.

book 649 — 〈ὁ δὲ ... Κηφεύσ〉 : ἤγουν ἕως τῆς ζώνης δύει Κηφεύς, ἐπειδὴ ἕως τῆς ζώνης ἔξω τοῦ ἀρκτικοῦ πόλου ἐστί. τὸ δὲ λοιπὸν τοῦ σώματος ἔσω τοῦ ἀρκτικοῦ πόλου ἐστί, καὶ διὰ τοῦτο ἀειφανές. PG.

book 678 — 〈ἀτέλεστα〉 : ἐπειδὴ πάντοτε διωκόμενος οὐδέποτε καταλαμβάνεται. PG. cf. sch. 678.

book 722 — 〈πίσυρεσ〉 : Ζυγὸς Σκορπίος Τοξότης Αἰγόκερως τοῦτον κατὰ μέρος κατάγουσιν. PG. cf. sch. 721.

book 739 — 〈ὁποσταίη ... ἠώσ〉 : οἱ ἀρχαῖοι διὰ τῆς σελήνης ἠρίθμουν τὰς ἡμέρας τοῦ μηνός. PG. cf. sch. 733—739 p. 375.

book 740 — 〈ἄκρα ... νυκτῶν〉 : δύσεις ἀνατολὰς ἡμερῶν δι᾽ ὧν αἱ δ′ τροπαὶ γινώσκονται. PG. cf. sch. 733—739.

Eulogikon public reading copy · View original HTML at eulogikon.org